τῶν λόγων ἡ φύσις. ἣν ἀνηβᾶν μὲν ἐδόκει μηκυνομένου τοῦ χρόνου, τὰς δὲ περιστάσεις αὐτὴν ἀφαιρεῖν, οὐκ ἐκείνην τοῦτο πάσχειν ὑφ' ὅτου δήποτε. M 44ᵛ ἀλλὰ γὰρ εἰς ἕτερον χρόνον τὰ τῆς εἰρωνείας ταμιευόμενος γράμματα, ἡνίκα δίκας ἡμᾶς εἰσπράξῃ μειζόνων ἁμαρτημάτων, οὐκ οἶδ', ὅτι μεῖζον ἐμοῦ καὶ τῆς ἀληθείας κατειρωνεύσῃ καὶ τρίτου σαυτοῦ. οὕτως οὐκ ἔνεστι τοῖς λόγοις οὐδὲν ἄνευ τοῦ εἰρωνεύεσθαι καὶ καταψεύδεσθαι τῶν Μουσῶν. καίτοι τῶν σῶν μὲν ἠθῶν οὔτε σεμνότερον οὐθ', ὅτι μᾶλλον ἔχεται τῆς μεσότητος, ἔστιν εὑρεῖν· τὰς ἐμὰς δ' ἀμετρίας κολάζων καὶ τὰς ὑπερβολὰς ἀναστέλλων — ἔστω γὰρ τέως τοῦτό γε — οὐδὲ τῆς σαυτοῦ δόξης ἐφείσω. ἐν οἷς ἐμαυτῷ τι νενόμικας ἀγαθὸν προσπορίσασθαι, ἑλόμενος αὐτὸς παρακινδυνεῦσαι· καὶ διδασκαλικὸν μὲν ἄντικρυς οὐκ ἐποιήσω τὸν λόγον, οὐδ' ὡς ἄν τις ἀποτεινόμενος πρὸς ἡμᾶς καὶ δεικνὺς ὅπως διαχειριστέον τὰ καθ' αὐτόν. ἕτερον δὲ τρόπον πρακτικὴν οἷον ἡμῖν ὑπόμνησιν ἐναπέθου, δείξας τοῖς ἔργοις, ὡς τῶν οἰκείων τὰ τοῦ φίλου χρῆν προτιθέναι κἀκεῖνα ζητεῖν, αὔξειν ἐκ παντὸς τρόπου μετὰ τοῦ μηδ' αὐτὸν εἴς τι τῶν καιρίων βλαβῆναι.

Ἐγὼ δ' ἀεὶ μὲν καὶ παρὰ πάντα τὸν χρόνον καὶ μόνον συμμίξας σοι καὶ τοῦτο τυχὼν ὁδοῦ πάρεργον μετὰ πολλοῦ κέρδους ἀπηλλαττόμην· νῦν δὲ καὶ μᾶλλον πολλάκις μέν σου τὰ γράμματα διϊὼν καὶ πάντοτε μετὰ θαύματος, ἐκεῖθεν δὲ παιδευόμενος φρόνημα μέτριον, ὅρον φιλίας, λόγων δεινότητα, νοῦ βάθος ἐν κάλλει λέξεων ἀπορρήτῳ, ὥστε πολλὰς ἀντὶ πολλῶν ὁμολογῶ τῷ Θεῷ χάριτας, ὧν ἐκ παιδὸς εὖ ποιῶν διατελεῖ, οὐ μόνον τοῖς καλῶς γενομένοις ἐπινεύσει καὶ χορηγῶν αὐτοῖς ἀσφάλειαν, ἀλλὰ καὶ εἴ τι κατὰ τὰς πράξεις αὐτὸς διαμάρτοιμι, διαλύων πρὸ τοῦ συστῆναι καὶ τῆς ἐκεῖθεν πειραθῆναι ζημίας, μηδὲν ἐμοῦ μήτε σπουδῆς εἰσφέροντος μήτε γνώσεως, τῆς σῆς φιλίας οὐκ οἶδ', ὁπόσας αὐτῷ μὲν εἴσομαι χάριτας. σοὶ δ' ἄξιον δείξω τὸν φίλον καὶ οἷον ἂν αὐτὸς εὔξαιο. ἀλλὰ τῶν μὲν ἐκεῖθεν προῖκα πάντως χορηγουμένων μοι πάντων οὐδὲ ταῦτα τῶν τῆς χάριτος λόγων ἔξω M 45 πεσεῖται. σοὶ δὲ τὸν ἑταῖρον, εἰρήσθω δὲ σὺν Θεῷ, σαφῆ μὲν δείξω καὶ βέβαιον καὶ οἷον ὁ ἀληθὴς βούλεται λόγος. μνήμης δ' ἕνεκα καὶ τοῦ στήλην ἀνεγηγέρθαι σοι παρ' ἐμοὶ τὸ Ὁμήρειον οὐκ' ἂν ἁμάρτοιμι καυχησάμενος, ὡς ἄρα κἀν Ἅιδου τοῦ φίλου μεμνήσομαι· ὅθεν ἐμαυτοῦ μὲν τὸν σὸν κόσμον ἡγοῦμαι, ἀγάλλει δὲ μετὰ ⟨τὰ⟩ σὰ κατορθώματα. καὶ τὸ μὲν Μιλτιάδου τρόπαιον οὐκ ἐᾷ με καθεύδειν, θαρρούντως οὐκ ἂν εἴποιμι, μή που καὶ δόξω σπουδῆς μετειληχὼς καὶ μετρίας.

Πῶς ἂν εἴποις αὐτὸς ἀνακείμενος καὶ βίον κατεραστωνευμένον βιούς; ὅτι δ' ἐκ πάντων τῶν γε νῦν ὄντων σὲ προὐστησάμην τῶν λόγων ἀρχέτυπον, οὐκ ἂν ἀπιστηθείην εἰπών, ὥσθ' ἥ τε φιλία τῶν σῶν μεταδίδωσί μοι καλῶν, καὶ ὁ ζῆλος κοινά σοι πρὸς ἡμᾶς ποιεῖ μὲν οὔπω τὰ ὄντα. γένοιτο δ' ἂν πάντα σοῦ εὐξαμένου. τῶν γε μὴν ἡδέων αὐτόθεν μετέχοντες καὶ ὅσα σοι πρὸς τιμὴν φέρει καὶ δόξαν ὡς σφίσιν αὐτοῖς συνευχόμενοι, ἐν τῷ μέρει

---

8 εὑρεῖν *scripsi* εὐλεῖν M | 17 τυχὼν *scripsi* τυχὸν M | 34 μετειληχὼς *scripsi* μετειληχὸς M | 36 πάντων *scripsi* πράντων M



Ε.Υ.Λ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ τῶν θλίψεων ἀπολαύω καὶ τῆς ἐναντίας τοῦ βίου μερίδος, ἧς ἀνθρώπους ὄντας ἀνάγκη περιπεσεῖν. ὅσα γοῦν ἐν προοιμίοις τῶν σῶν γραμμάτων ἡμᾶς εὔφρανας τέχνῃ καὶ κάλλει καὶ τῇ διὰ πάντων περικεχυμένῃ πειθοῖ τε καὶ χάριτι, τοσαῦτα καὶ ἔτι πλείω καθήψω, τὰ κατὰ σαυτὸν ἡμῖν διηγησάμενος καὶ βέλεσι πλήξας, οἷς οὐκ ἄν τις ποτ' ἔλπισεν. ὅσοι μὲν γὰρ τῶν πολλῶν εἰς ἡμᾶς ἁμαρτάνουσι πρᾶγμα ἀσταθμητότατον καὶ ἄλλοτε ἄλλως, ὡς ἂν τύχοι, φερόμενον κατὰ τὸν εἰπόντα, οὔτε τοῖς παροινουμένοις καὶ μικράν τινα προστρίβονται λύμην, ὅτι μὴ καὶ λαμπροτέρους ἀποφαίνουσιν ἴσως ταῖς ἐκείνων ἀπαρεσκόμενοι πράξεσιν, αὐτοὶ δήπουθεν ὄντες οὐκ ἀγαθοί. παρὸ καί τις σοφὸς ἔδησε, μή τι κακὸν εἴργασται τοῖς τοιούτοις ἀρέσας, καὶ ἑαυτοῖς ἀκόλουθα δρῶσι πονηροὶ πονηρὰς ἐξάγοντες περὶ τῶν ἀγαθῶν ἀνδρῶν ψήφους. οἷς δ' ὑπὲρ τοὺς πολλοὺς εἶναι δοκοῦσι καὶ φρόνημα κεκτημένοις ἐφ' ἑαυτοῖς, τούτους φρονεῖν τε καὶ λέγειν περὶ ἡμῶν τὰ μὴ ὄντα καὶ λοιδορεῖσθαι μὲν πρὸς ἑτέρους, μισεῖν δὲ ἐφ' ἑαυτῶν πονηρὰς αὐτοί τε περὶ ἡμῶν ἔχοντες
M 45v δόξας καὶ τοὺς ἄλλους πείθοντες. ἁπλῶς μὲν οὑτωσὶ σκοπουμένῳ πάνδεινον δόξει καὶ ἥκιστα φορητὸν ψυχαῖς εὐγενέσι καὶ συνειδότι κεκαθαρμένῳ, καὶ οἷον αὐτόν τε λυπεῖν καὶ τοὺς φιλοῦντας τὰ ἔσχατα.

Ἁμαρτὼν μὲν γάρ τις, εἶτα διδοὺς δίκας, ἑαυτῷ γε μέμψαιτ' ἂν δικαίως καὶ τῆς λύπης τὸ πλεῖστον ἀφέλοι ἂν ὑπ' οὐδενὸς ἀδικούμενος. ὅταν δέ τις ἔξω πάσης αἰτίας ἱστάμενος καὶ στέφανον αὐτῷ προσήκειν οἰόμενος, ἔκ τ' ἀφανοῦς ποθεν ἐνέδρας λογοποιῶν, οὐχ ὅσον τῶν ἐλπίδων ἀποτυγχάνοι, ἀλλὰ καὶ μετὰ τῶν πονηρῶν τάττοιτο, πολλὴν μὲν εἰκὸς ὑποστῆναι τὴν ἀθυμίαν, σφόδρα δὲ κεντεῖσθαι τοῖς τῆς θλίψεως βέλεσιν. τοῖς δὴ τοιούτοις καὶ σὲ βαρυνόμενον καὶ ἡμᾶς ἀχθομένους τῇ κοινωνίᾳ λυπεῖσθαι μὲν ὅπερ ἔφην εἰκός, καὶ λυπούμεθα. ἔδει γὰρ τῶν πολλῶν καὶ μεγάλων καμάτων, οὓς ὑπὲρ τῶν λόγων ὑπέστημεν καὶ ἔτι νῦν ὑφιστάμεθα, τοῦτο γοῦν ἀπολαῦσαι, ἀγαθὰ περὶ ἡμῶν λέγειν καὶ τὰ βελτίω τοὺς ἀνθρώπους δοξάζειν.

Ἐπεὶ δ' ἐν ταὐτῷ καὶ Θεῷ καὶ ἀνθρώποις ἀρέσαι δυνηθῆναι οὐδὲ τῷ ἱερῷ δοκεῖ λόγῳ, — δόξης τε τῆς παρὰ τῷ πατρὶ ἐπιμελομένους ἀρκεῖσθαί φησι δεῖν, οὐδὲν τῆς παρ' ἀνθρώποις φροντίζοντας, ὅτι μὴ καὶ γάνυσθαι μᾶλλον ἀγαθοὺς μὲν αὐτοὺς ὄντας, δοκοῦντας δ' αὐτοῖς τἀναντία — καὶ ἡμῖν ἴσως λείπεται λόγος παραμυθίας, καὶ ἔχομεν, οἷς ἀποκρουσόμεθα τὰς ἐπαναστάσεις τῶν λογισμῶν καὶ τὸ τῆς ψυχῆς καταστελοῦμεν οἰδαῖνον. καίτοι οὐχ οὕτως ἡμεῖς ἄνωθεν ἐπαιδεύθημεν, οὐδὲ τοιαύτης ἔλαχεν ἀγωγῆς τὰ κατὰ τὴν ἡμετέραν ψυχήν, ὡς οἰδαίνειν μὲν καταφρονουμένων, σκοτοῦσθαι δὲ θλίψεσιν ὑπερορωμένων καὶ συγχεῖσθαι ταῖς ὕβρεσιν. οὔτε γὰρ παρόρασις οὐδὲν πρὸς ἡμᾶς, ἕως ἂν οὐδὲ βελτίους ἡ δόξα ποιεῖ. καὶ οἷς ἄν τις ἀπόβλεπτος γίνοιτο, οὐθ' ὑβριζόμενοι σχοίημεν ἂν ἔλαττον αὐτοὶ τῆς σφετέρας πολιτείας φροντίζοντες καὶ τοῦ ζῆν κατὰ λόγον. πεπείσμεθα δέ, καὶ μισθῶν ἡμῖν οὐκ ἂν ἀποκειμένων τῆς συκοφαντίας καὶ τῶν ἀδίκων δὴ τούτων παροινιῶν, ὅμως ἀνέχεσθαι καὶ μακροθυμεῖν σκοποῦντας, οὐχ ὅτι ἄν τις περὶ

14 ἡμῶν M *corr. ex* ἡμᾶς | 20 στέφανον *scripsi* στεφάνων M | αὐτῷ] αὐτῷ M | 21 ἐνέδρας *scripsi* ἐνέδραις M | 23 σφόδρα δὲ M *in marg.*

Ε.Υ.Δ... ΙΩΑΝΝΙΝΑ 2006

ἡμῶν εἴποι, ἢ ὅτι ἄν τῳ περὶ ἡμῶν δόξει, — ἢ γὰρ ἂν εἴη δεινὸν καὶ πρὸς ἀτελεύτητον περιΐοντας ἑκάστοις ἐπιδείκνυσθαι καὶ ζῆν, ἑκάστοις ἀρέσκειν M 46 ἐθέλοντας ἅπασιν — ἀλλ' ὅτι ἂν εἴη βέλτιον. οὕτω τὰ κατὰ νοῦν ἡμῖν καὶ ψυχὴν ἐπιδοίη. εἰ γὰρ μὴ δοκεῖν ἄριστον, ἀλλ' εἶναι θέλειν βαθεῖαν διὰ φρενὸς ἄλοκα καρπούμενον, καὶ ἡμῖν ἐπαινεῖται. καὶ ὃς μὲν φίλοινος καὶ φιλόπλουτος ἐφ' ἑαυτοῦ τῶν ἐπιθυμιῶν ἀγαπῴη ἂν ἀπολαύων, καὶ εἰ μηδεὶς αὐτοῖς τὰς ἀπολαύσεις συνείσεται· ἡμεῖς δ' εἰ μὴ πολλοὺς ἕξομεν θεατὰς καὶ συνίστορας, οὐδ' ἔχειν ὃ ἔχομεν, νομιοῦμεν.

'Αλλὰ μὴν εἴπερ ἀπὸ τῶν ψηφιζομένων τὰς ψήφους χρὴ δοκιμάζειν καὶ περὶ ἑκάστου θαρρεῖν τοῖς ἠκριβωκόσιν ἕκαστα καὶ περὶ ταῦτα εὐδοκιμήσασιν, ἀνεύθυνοι μὲν ἡμεῖς, ψήφοις δὲ πάσαις νικῶμεν, ταῖς γε δὴ τῶν φρονούντων, κἂν ὡς ἐλάχιστοι ὦσιν ἐν πλήθει μυρίῳ. καὶ τὰ καθ' ἡμῶν βέλη οὐκ ἀπὸ σκοποῦ φέρεται μόνον, ἀλλὰ καὶ τοῖς ἑτέρων πήγνυται σώμασι, καὶ τούτων ἴσως, οὓς οὐκ ἂν οἱ βάλλοντες ἠβουλήθησαν. οὐδὲν γὰρ αὐτοὺς δόξα καὶ πλοῦτος καὶ τὸ μέγα φρονεῖν παραιτήσεται, τὸ μὴ οὐ τῶν πολλῶν εἶναι δοκεῖν καὶ κατ' ἐκείνους ψηφίζεσθαι, ἕως ἂν καὶ πλέον αὐτῶν ἔχοιεν τὸ μὴ τὴν κατ' ἀπόφασιν ὡς ἐκεῖνοι, τὴν δὲ κατὰ διάθεσιν νοσεῖν ἄγνοιαν, ὃ δὴ καὶ χεῖρον κακόν, ἐν διπλῷ τὰ τῆς ἀμαθίας ὀνείδη κερδαίνοντες μήτε εἰδότες μήθ', ὡς οὐκ ἴσασι, συνεῖναι δυνάμενοι, κἀντεῦθεν πείθοντες μέν, περὶ ὧν ἐθέλουσι τοὺς ὁμοίους, οἳ καὶ πρὶν ὑπ' ἐκείνων πεισθῆναι νοσοῦσι ταὐτά, γέλωτα δ' ὀφλόντες τοῖς αὐτῶν συνιεῖσιν.

῞Ωσπερ οὖν οὐκ ἂν ἐκαθίσαμεν ἀγεωμέτρητον τῶν κατὰ γεωμετρίαν κριτὴν οὐδὲ τῶν κατὰ μουσικὴν ἀνάρμοστον ἄνδρα, — πόθεν; οὐ γὰρ ἐπαΐουσι τῶν ἐπιστημῶν οὐδ' αὐτὸ τοῦτο ἴσασιν, ὅτι ποτ' ἐστὶ γεωμετρία, οὐδ' ὅτι τὸ τῆς ἁρμονίας ὄνομα βούλεται — ἢ καθισάντων οὐκ ἂν ταῖς περὶ τούτων προσείχομεν ἀποφάσεσιν, οὐδὲ καταγινωσκόντων τῶν ἐπιστημῶν καὶ τῶν κατ' αὐτὰς εὐδοκίμων ἐφροντίσαμεν ἄν, ἀλλὰ πάντα μᾶλλον ἢ ταῦτα αὐτοὺς ἐνομίσαμεν ἀληθεύειν, οὕτως εἴ τις ἡμῶν ἢ βίον ἢ λόγον διασύροι, αὐτὸς ὀρθοῦ βίου καὶ λόγου πόρρω που πλανηθεὶς παρὰ πάντα τὸν βίον, οὐδὲν πρὸς ἡμᾶς οὐδ' αὐτὴν τὴν ἀλήθειαν. ἡμῶν γὰρ τὰς αὐτῶν ὀλισθούντων λαβὰς καὶ τῷ Πρωτεῖ τὰς ποικίλας συμμεταμορφουμένων ἰδέας καὶ συμφιλοσοφούντων οὐρανοῦ πέρι καὶ γῆς καὶ λίθων καὶ πυρὸς φύσεως, αὐτοὶ τάχα καὶ τοῦ ἡμετέρου διαμαρτάνουσιν εἰδώλου δοκοῦντες, κατέχειν τοὺς M 46v πάμπληθες ἀφισταμένους αὐτῶν.

Σὺ μὲν οὖν δίκας ἐκτίνεις ἤθους μετρίου καὶ βεβηκότος φρονήματος καὶ τοῦ μὴ πᾶσιν ἀνέμοις συμπεριφέρεσθαι μηδὲ κολακεύειν ἐθέλειν τοὺς ἐν ὑπεροχαῖς. Θεὸς δ' ἄνωθεν εὐμενὲς ἐπιβλέψας εὖ μέν σοι διαθείη τὸν βίον καὶ γνώμης καὶ λόγου καὶ πράξεως αὐτὸς ὑφηγούμενος, ἀφέλοι δὲ τὰ λυποῦντα· καὶ πεῖσαι μεταμαθεῖν περὶ σοῦ τἀληθῆ τοὺς νῦν ἄλλως ἔχοντας, μάλιστα

4—5 εἰ γὰρ μὴ . . . ἐπαινεῖται M *add. in marg.* | 16 ἔχοιεν M *suprascripsit sup.* ἔχωσι | 31—33 καὶ τῷ Πρωτεῖ . . . τάχα] M *add. in marg.*: ἄλλως· καὶ τῷ Αἰγυπτίῳ σοφῷ συμφιλοσοφούντων τῆς ποικίλης περὶ τῶν ὄντων ἰδέας, τοῦτο γὰρ τὰς παντοδαπὰς αὐτοῦ νοήσεις μορφάς, αὐτοὶ τάχα

Ε.Υ.Δ.Π. ... ΙΩΑΝΝΙΝΑ 2006

μὲν πάντα. εἰ δ' οὖν ἀρκέσει τὸν κράτιστον αὐτοκράτορα μένειν ἐπὶ τῆς πρότερον περὶ σοῦ δόξης, καὶ ἧς ἄνωθεν εὐμενείας ἔχων διατελεῖ, καὶ τῶν ἄλλων ἡμῖν λόγος οὐδεὶς ἢ βραχύς. οὗτος γὰρ ἀντὶ πάντων ἔσται, τὰς παρ' ἑαυτοῦ ψήφους ἐκφέρων, νικῶν, εἰς ὧν τοὺς πολλούς, ἅτε δὴ καὶ φρονήσει τῶν ὅλων κρατῶν. τὴν δὲ πατρίδα κοσμήσεις μὲν καὶ διὰ τὰ πρὸς αὐτὴν δίκαια καὶ τοὺς γεννησαμένους πατέρας· οὐδὲν δ' ἧττον καὶ τὰς τοῦ μέλλοντος ὑφορώμενος ἀδηλίας καὶ τὸ τῶν ἐλπίδων διαψευδόμενον, ἃς καὶ τυφλάς τις εἰπὼν ἐπῃνέθη τῆς εὐστοχίας· τοῖς παροῦσι, κἂν ὡς πονηρότατα εἶεν, τὰ ἐκ τῆς ἀλλοδαπῆς ἀντιτάττων δεινὰ καὶ ἅπερ εἰκὸς ἐντεῦθεν ἀκολουθήσειν, ποίαν μὲν ἡδονὴν οὐκ ἂν ἀποκρύψοντα, ποίαν δ' οὐκ ἂν ὑπερβαλοῦντα τιμήν, κἂν ὡς ἐλάχιστα εἶεν. ἢ τὰς πεττείας οὐχ ὁρῶμεν τοῦ χρόνου, καὶ ὡς πάντ' ἄνω καὶ κάτω ποιεῖ, οὐ πλοῦτον καὶ τὰς τιμὰς μόνον, ἀλλὰ καὶ τοῦτο δὴ τὸ ζῆν ἐξαρτῶν ἀπὸ λεπτοῦ μίτου τοῖς χθὲς καὶ πρώην τῆς ἀνωτάτω δόξης ἠξιουμένοις καὶ τῶν ὅλων ἀνῃρημένοις τὸ κράτος. σκιὰς οὖν πραγμάτων καὶ τῶν ὄντων ἀλλάττεσθαι τὸ σαθρὸν τῶν ἐλπίδων οὔτ' αὐτοὶ δοκιμάσομεν, οὔτε βουλευομένοις ἑτέροις ἡμέτερον ἂν εἴη πεισθῆναι. ἀλλ' οἷς ἔχομεν ἀγαπῶντες καθεδούμεθα περιμένοντες μὲν καὶ τὴν ἐκ τοῦ χρόνου καὶ τῶν πραγμάτων συμμαχίαν, — πολλὰ γὰρ οἶδε μετατάττειν ἐπὶ τὸ βέλτιον — οὐχ ἥκιστα δὲ καὶ τὴν θείαν ἀντίληψιν ἐκδεχόμενοι, λαμπροῖς ἀναδοῦσαν στεφάνοις τοὺς καρτερίους διενεγκόντας.

M 47

## 3. ⟨Βησσαρίων⟩
## Τῷ 'Αμοιρούτζῃ.

'Εοίκαμεν ἐγώ τε καὶ σύ, ὁ μὲν ἐγκαλεῖν οὐ σὺν δίκῃ, σὺ δὲ μάτην ἀπολογεῖσθαι, ἀφέντες ἄλλοθι κοινῇ τὴν οὖσαν αἰτίαν ζητεῖν κἀκεῖθεν τὰς δίκας εἰσπράττεσθαι. ἡ γὰρ τῶν ἀνδρῶν μοχθηρία, οἷς τὰ πρὸς ἀλλήλους πιστεύομεν γράμματα, καὶ σὲ ταῖς τῆς ἀγνωμοσύνης αἰτίαις καὶ ταῖς τῆς ἀκρισίας ἡμᾶς ὑποβάλλουσα, προσέτι καὶ κατ' ἀλλήλων ὀργίζεσθαι καὶ τἀναίτια αἰτιᾶσθαι καὶ πάντα δὴ διατίθησι τὰ δεινότατα. ἅλιον γὰρ δὴ τῆς σῆς ἔκφυγε χειρὸς οὐκ εὐφρᾶναν τὸν φίλον τὸ τῶν σοφῶν σου σμῆνος γραμμάτων, καὶ ἅς, οὐκ οἶδ' ὅσας, φῂς ἐπιστεῖλαι, πλὴν εἰ μὴ λόγος ἦν ἄλλως ἡ δωδεκὰς καὶ τῶν ἐγκλημάτων ἀποφυγὴ καί τις ἀναχώρησις ἐσκεμμένη. καίτοι πείθεις με λέγων — καὶ μικροῦ συμφωνῶ σοι πρὸς τοὺς ἐλέγχους ὁρῶν — ἕτοιμον ὄντα καὶ θαρροῦντα ταῖς διὰ λόγων μὲν ἀποδείξεσι οὐδαμῶς. ὅπου τυχὸν ἔνι καὶ παρακρούσασθαι σοφιστείᾳ χρησάμενον, αὐτοῖς δὲ τοῖς πρά-

17 συμμαχίαν] M *suprascripsit* ἀναγόρησιν

Ep. 3. Der Brief setzt Zwistigkeiten voraus, die schon eine Zeitlang zwischen Bessarion und Amirutzes bestanden hatten. Bessarion will alles vergessen und Amirutzes' heftige Briefe als nicht geschrieben betrachten. Die Beziehungen zwischen beiden erscheinen ziemlich kühl und sind es auch dauernd geblieben.

Der bisher noch ungedruckte Brief ist überliefert: Venedig, Cod. Marc. gr. 533, fol. 47—48 (= M).

Ε.Υ. Ζώτος Κ. Π ΙΩΑΝΝΙΝΑ 2006

γμασι καὶ ταῖς δι' αἰσθήσεων πίστεσιν, αἷς οὐδὲ τὸν σφόδρα φιλόνεικον ἀντειπεῖν ἔνι μὴ οὐ πεισθέντα. ὥστε γὰρ δεῖξαι τοῦθ' οὕτως ἔχον, ζητεῖς σοι παραστῆναι τοὺς ἄνδρας, οἷς αὐτὰς οὐκ οἶδ' εἴτ' ἐνεχείρισας, εἴτ' ἐγχειρίσεις. πρᾶγμα πάνυ μὲν οὖν ἐμοὶ ῥᾷστον, ὅς πρῶτον μὲν οὐδ' αὐτὸ τοῦθ' οἵτινές εἰσιν οἶδα, πλὴν εἰ μὴ κήρυξί τισι καὶ χρημάτων διανομαῖς αὐτοὺς συναγάγοιμι. ἔπειτα καὶ φωράσας οὐκ οἶδ', ὅπως ἂν ἐν ταὐτῷ συναγάγω, πότερον ἐμαυτόν τε κἀκείνους ἢ πλέοντας ἢ πεζεύοντας ἀγάγων παραστήσω σοι· — δεῖ γὰρ παρεῖναι κἀμὲ τῶν ἐλέγχων ἀκροατήν — ἢ σὲ παρ' ἡμᾶς ἴυγξί τισιν ἐπισπάσω. καίτοι τοῦτο μὲν πολλῷ ῥᾷον.

Σὺ δ' οὐκ ἂν τῶν ἐν τοῖς μεγίστοις βασιλείοις κερδῶν καὶ τιμῶν καὶ τοῦ παρὰ πάντων ἀποβλέπεσθαι τῶν ἐνταῦθα τὴν ὡς ἡμᾶς προσθήσεις ἐπιδημίαν καὶ ῥῆμα μόνον βασίλειον καὶ εὐμενὲς νεῦμα καὶ τὴν μελίχρουν ἐκείνην αὐδήν, ἣν οὐκ ἄν τις ἁμάρτοι τῇ λύρᾳ παραβάλλων Ὀρφέως, τῶν ἄλλων ἁπάντων προκρίνων δικαίως. ὥστε τήν γε τῶν σῶν λόγων τέχνην τε καὶ δεινότητα, κατασκευήν τε καὶ μεταχείρισιν ἐπαινέσαις μὲν ἄν, καὶ σὺ κἀγὼ καὶ ὅστις ἀγαθὸς λόγων κριτής. εἰ δὲ μὴ παρέσυρεν ἡμᾶς κατακλύσασα πειθοῖ τῇ τυράννῳ, μὴ θαυμάσῃς. οὐ γὰρ τὴν τῶν λόγων ἀσθένειαν, τὴν δὲ τῆς ἀληθείας ἰσχὺν αἰτιάσῃ παντὸς λόγου κρείττω δεικνυμένην ἑκάστοτε.

Λυπούμενος δ' ἐφ' οἷς σου καθηψάμεθα σκώμμασι — οὕτω γὰρ τὴν ἐν τοῖς πρὸς ἕτερον γράμμασι πρόσρησιν ὀνομάζεις — εὐφραίνεις ἡμᾶς οὐχ ἧττον ἢ μηδεμίαν αἰτίας αἰτίαν διδούς. ὥστ' ηὐξαίμην ἂν μάλιστα μὲν μήτε σκωμμάτων σοι καὶ ὁπωσοῦν δεῖν τῷ βίῳ τε καὶ τοῖς ἔργοις, μήθ' ἡμᾶς τὴν ἀπὸ τοῦ λυπεῖσθαί σε κατηγορούμενον εὐφροσύνην καρποῦσθαι. εἰ δ' ἄρα M 47ᵛ ἄνθρωπον ὄντα καὶ ἁμαρτεῖν ἀνάγκη ποτέ, εὐφραίνοις γοῦν ἡμᾶς ἀθυμῶν καὶ τῶν ἡμετέρων βελῶν αἰσθανόμενος. καίτοι γ' ἐφ' οἷς ἕτερόν τις ἀνιᾷ, καὶ τοῦτον ἑταῖρον χαίρειν αὐτὸν οὔτε νενόμισται· καὶ χαιροκακίας αἰτίαν ἴσως ἂν σχοίη μητέρα κεκτημένης τὴν κακοήθειαν· ἐγὼ δὲ τῆς σῆς ὀρεγόμενος οὐχ ἧττον ἢ τῆς ἐμαυτοῦ βελτιώσεως. τάχα γὰρ καὶ ἡμῖν τι προσήκει τὰ κατὰ σέ. καὶ βιοὺς εὐδαιμόνως μεταδώσεις εὔκλειαν ἡμῖν· οὐ μόνος ἀπολαύσεις τῶν ἀγαθῶν· οὔτε σέ ποτε παύσομαι πλήττων, φωρῶν ἁμαρτάνοντα, οὔτ' ἐμαυτῷ τὴν ἐντεῦθεν ἡδονὴν ποριζόμενος, ἕως ἂν ἀναμάρτητον ἢ ὀλιγαμάρτητον αἴσθωμαι, σὺν Θεῷ χρηματίσαντα τὴν ἐπὶ τοῖς μὴ καλῶς πεπραγμένοις πικρίαν, μετανοίας σημεῖον, κἀκείνην τῆς τῶν ἀρίστων ἔργων αἱρέσεως αἰτίαν τιθέμενος, ὡς τοῦ γε μὴ μόνον τοῦ βελτίστου διαρματάνειν, ἀλλὰ καὶ ἀναισθητεῖν ἐλεγχόμενον. μήτε σὺ μήτ' ἐγὼ μήθ' ὅστις ἡμῖν φίλος ἥκοι μηδὲ εἰς πεῖραν.

Ἐγὼ μὲν οὖν ὀνειδίσας ὠφέλησα καὶ μεμψάμενος ἐπηνώρθωσα· ἀπέλαβον γάρ, ὧν ἕνεκα κατηγορῆσαι προήχθην· οὗ καὶ μάλα ἂν ὑπερήλγησα κατηγορούντων ἑτέρων, εἰς ἐμαυτὸν ἀναφέρων τὰς εἰς ἐκεῖνον ἐπιτιμήσεις. σὺ δ' εἰ μὴ μάλα πικρὸς τῶν ἡμετέρων δικαστὴς γίνῃ, πράως τε οἴσεις καὶ

---

14 τέχνην τε καὶ δεινότητα M *add. in marg.* | 29 μεταδώσεις . . . ἡμῖν M *add. in marg.*

Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὴν αἰτίαν σκοπούμενος εὑρήσεις ἀγάπην καὶ τὸ σφόδρα τῶν σῶν ἔχειν γραμμάτων ἀπλήστως. ὃς εἰ καὶ πάσας δεξάμενος, ὅσας ἔφης ἐπεσταλκέναι, κατηγόρουν ὡς μὴ γεγραφότος, τό τ' ἂν καὶ μεῖζον τοῦ σὲ καὶ τὰ σὰ φιλεῖν ἐξήνεγκα δεῖγμα, καί σοι πλείω τὴν ἡδονὴν ἂν προεξένησα.

Νῦν δ' ἅπαξ μὲν ὑπὸ σοῦ τιμηθείς, εὐθὺς δέ σε τοῖς αὐτοῖς ἀμειψάμενος, καίτοι μὴ σφόδρα τοῦ καιροῦ συγχωροῦντος, — ἥ τε γὰρ χεὶρ ὅ τε νοῦς εἴργει συγκάμνων τῷ σώματι — εἶθ' ὅλον ἐνιαυτὸν ἤδη στερόμενος, ὧν οὐκ ἐχρῆν, ὥσπερ ἐκ μετανοίας σιγᾶν ἐγνωκότος, τί θαυμαστόν, εἰ τρωθεὶς ἔπληξα καὶ λόγοις σου καθηψάμην εὐλόγως ἀμελήσαντος τοῦ δικαίου τε καὶ εὐλόγου; εἰ δὲ καὶ τὰ ὄντα λέγων οὐ γενέσθαι μοι προὔργου τὴν σὴν ἐπιτίμησιν εἴποιμι, οὐδὲ στηλίτην σε θεῖναι βουλόμενος, τὸ βραχὺ ῥῆμα τοῖς πρὸς ἕτερον προσπαρέγραψα γράμμασι, δίκαιος μὲν ἂν εἴης καὶ λέγοντι μόνον ἁπλῶς οὕτω πεισθῆναι. ἐγὼ γὰρ τοὺς ἐμαυτοῦ λόγους τῶν ὅρκων ἑτέρου καὶ ἀποδείξεων ἀληθεστέρους ἂν εἶναι βουλοίμην.

M 48 Γνοίης δ' ἂν καὶ ὧδε· οὔτε γὰρ ταῖς δημοσίαις κύρβεσιν, ἣν ἔφης ὕβριν, φέρων ἐνέγραψα, ἐφεὶς παντὶ παριόντι τὰ κατὰ σοῦ γράμματα διϊέναι· οὔτε σκεψάμενος, ᾧτινι προσέκρουσάς ποτε, καὶ ὃς ἂν οὐκ ἀηδῶς τῶν κατὰ σοῦ αἰτιαμάτων ἀκούσειεν, ἐν τοῖς πρὸς αὐτόν σου γράμμασιν ἐμνήσθην, ἐφ' οἷς οὐκ ἐχρῆν μόνον οὐ δι' ἐκείνου δημοσιεύων σου τὰ ἐγκλήματα καὶ πολλῶς ἀνιστῶν σοι πάντοθεν κατηγόρους· ἀλλὰ τῶν ὄντων σοί τε κἀμοὶ φίλων τὸν μάλιστα σαφέστατον ἐκλεξάμενος, καὶ ὃν οὐκ ἐνῆν ἐμπομπεύειν σοῦ τοῖς ἐλαττώμασιν, οὐ μᾶλλον ἢ τοῖς σοῦ αὐτοῦ, τούτῳ τὴν κατὰ σοῦ μέμψιν ἐκοινωσάμην, φίλῳ φίλους ἐπανορθῶν, ὥσπερ τισὶ φαρμάκοις προσηνεστέροις ἰώμενος, εἴ τι σοι θεραπείας ἦν ἄξιον. σὺ δ' ἀδικῶν, ὃν οὐκ ἐχρῆν, αἰτιάμασι τὰς κατὰ σοῦ μέμψεις χύειν ἠθέλεις προσεγκαλῶν. ἀλλὰ τούτων μὲν ἅλις.

Σὺ δ' ἐντεῦθεν ἤδη τοῦ βίου παρέχων τὰς ἀποδείξεις καὶ πρὸς κανόνα ῥυθμισθεὶς ἂν ἐν ἅπαντι τῷ μέλλοντι βίῳ, ὃν ἂν τὸ ἀπὸ τοῦδ' ἕλοιο, ἁπαλῇ τῇ ψυχῇ καὶ πρώτως ἁψαμένῃ τοῦ ζῆν ἐν τῷ μέσῳ, στάδιον ὃν τρέχεις δρόμον, ἐν μέσοις τοσούτοις ἡγούμενος ὥσπερ τις εὐφυὴς ἀθλητὴς ἀσκήσει τε καὶ τέχνῃ τὰ πλείω μᾶλλον ἢ τῇ ῥώμῃ θέλε νικᾶν. ἔστιν οὖν καλῶς ἡττημένος μᾶλλον ἢ κρατεῖν ἐθέλων ἐν πᾶσιν οὐχ οὕτως, σύμφωνον μὲν τοῖς λόγοις τὸν βίον δεικνύς, ταπεινώσει δὲ καὶ μετρίῳ φρονήματι πάντας ἕλκων πρὸς ἑαυτόν, φίλοις μὲν χρώμενος, οἷς ἄμεινον, ἐχθροῦ δὲ μάλιστα μὲν πειρώμενος οὐδενός, εἰ δ' ἄρ' ἀδύνατον ἔχοντι φίλους. καὶ δηλοῖ Χείλων, τοῦ εἰπόντος μηδένα ἔχειν ἐχθρὸν εἰ μηδὲ φίλον πυθόμενος, πείθεσθαι γοῦν Ξενοφῶντι· τοῦ νοῦν ἔχοντός ἐστί, λέγοντι, καὶ ἀπὸ τῶν ἐχθρῶν ὠφελεῖσθαι. τοῦτο γοῦν καὶ ἰατρῶν πείσαιεν παῖδες ἀπὸ τῶν δηλητηρίων σωτήρια κατασκευάζοντες φάρμακα καὶ ὅσοι ταῖς δυστυχίαις πρὸς εὐτυχίαν ἐχρήσαντο. ταύτῃ γὰρ κεκοσμηκὼς μέν, τὰ ἤθη προσθεὶς δὴ τῷ λόγῳ καὶ τὴν ἀπὸ τοῦ βίου λαμπρότητα, πάθους μὲν περιγενήσῃ παντός. παράδειγμα δὲ καταστὰς ἀγαθῶν, σαυτόν τε καὶ τοὺς εἰς σὲ βλέποντας βελτίως ἀποφανεῖς.

7 εἴργει *scripsi* ἤργει M

Ε.Υ.Δ της Π.Τ. ΙΩΑΝΝΙΝΑ 2006

## 4. ⟨**Βησσαρίων**⟩
## **Τῷ Δεσπότῃ τῷ Πορφυρογεννήτῳ.** M 50

Ἀλλ' ἡμᾶς μὲν ὥσπερ τις ἄωρος ὀρφανία καταλαβοῦσα πείθει πενθεῖν, τὴν καταλύσασαν ἡμᾶς οὕτως ὀρφανίαν ὀδυρομένους, ὡς οὐδὲ τὰ χρηστότερα ἀπελπίζοντας· σὲ δ' ἡ πατρὶς χρόνῳ μὲν καὶ μόλις, ἄσμενος δ' οὖν καὶ μετὰ μείζονος ἀπέλαβε σχήματος. τὸ τιμαλφέστατον αὐτῇ ἢ χρῆμα ὄνομα. καὶ πανηγύρεως μὲν εἶδεν ἡμέραν τὰ σὰ εἰσιτήρια· μετὰ λαμπρᾶς δὲ πομπῆς ὑπεδέξατο τὸν δεσπότην, ἣν διέθηκέ σοι μὲν ὁ πᾶσι πάντων κρατῶν, ὁ βασιλεὺς καὶ φίλος καὶ ἀδελφός.

Συνεπληροῦ δὲ πᾶσα τάξις ἀνθρώπων καὶ ἡλικία προχυθέντων τῆς πόλεως καὶ βοῆς πάντα καὶ κρότου πληρούντων καὶ πᾶσιν, οἷς ἔνεστι, τὴν τῆς ψυχῆς ἡδονὴν καὶ τὸ γάνος δηλούντων. οὐ χεῖρον δὲ ἴσως εἰπεῖν ὡς μετὰ τῆς ἴσης καὶ σὺ τὴν πατρίδα τεθέασαι εὐφροσύνης, ἣν ἐπόθεις μὲν πάλαι, εἶδες δὲ νυνὶ πρώτως. τὸν γὰρ πρὶν χρόνον οὐδ' ἐν λόγῳ θετέον, οὕτως ἐν πάνυ ἁπαλῇ ἡλικίᾳ τῆς ἐνεγκαμένης ἀπέραντος. καὶ νῦν ἔξεστί σοι περιϊόντι τὰ πανταχόθεν αὐτὴν περικεχυμένα κάλλη θεᾶσθαι ὥσπερ ἐν ἀγῶνί τε καὶ θεάτρῳ ἀλλήλοις ἁμιλλώμενα καὶ τοῦ κάλλους ἐρίζοντα. ἔνθεν μὲν γὰρ ἱερῶν ὄψει πλήθη καὶ κάλλη. οὕτω μὲν πλείω ἢ καλλίω, οὕτω δὲ βελτίω ἢ πλείω. ἐκεῖθεν δὲ τείχη καὶ πύργους καὶ περίβολον πόλεως, ὧν οὔτε μέτρον οὔτ' ἀρετὴν οὐδ' ἀξίως ἔνι θαυμάσαι, ἑτέρωθεν δημοσίων οἰκοδομημάτων λαμπρότητα καὶ τὴν περὶ τὰ θέατρα περιττὴν φιλοτιμίαν, ἄλλοθεν ὄγκον ἀρχείων καὶ περιφάνειαν, βασιλικῆς ἁβρόσεως δείγματα καὶ τρυφῆς ἐξουσίας. ὧν κάλλη τε καὶ μεγέθη τὰ μὲν ὄψει, περὶ δὲ τῶν πολλὰ καλὰ διηγουμένων ἀκούσῃ. μόνη γὰρ ἥδε ἡ πόλις κοσμεῖται τοῖς μὲν ὁρωμένοις ὑπὲρ πάντα τὰ ἄλλα, τοῖς δὲ μνημονευομένοις τῶν ὄντων βελτίοσιν, ἃ πῶς ἂν μὴ πολλὰ θαυμάσας παρέλθοις, ὅς γε καὶ διηγουμένων ἀκούων ἐκρότεις καὶ σκιρτῶν ὑφ' ἡδονῆς ἐδόκεις ὁρᾶν καὶ μόνον οὐ συνεῖναι τοῖς ποθουμένοις.

Καίτοι τί ταῦτά φημι τὰ μείζω παρείς; ἐνταῦθα πᾶν μὲν ἀπόκειται ἱερόν, πᾶν δὲ τεθησαύρισται θεῖον ὥσπερ τινὸς Θεοῦ ταμείου γενομένης τῆς πόλεως καὶ συντηρούσας αὐτῷ πᾶν μὲν μαρτύρων ὀστοῦν ἱερόν, πᾶν M 50v δὲ λείψανον ἱερέων, ἀρχιερέων ὁσίων, παντὸς τεθεραπευκότος Θεόν. ταῦτ' οὐκ ἂν φθάνοις σπουδῇ τε καὶ πόθῳ περιϊὼν καὶ κατασπαζόμενος καὶ τὴν ἐκεῖθεν

---

12 γάνος] γάννος M | 15 ἀπέραντος] ἀπάραντος M

Ep. 4. Empfänger des Briefes ist der Despot des Peloponnes Demetrios, der Bruder des Kaisers Johannes VIII Palaiologos. Er ist nach Konstantinopel gereist, und Bessarion macht ihn auf die Sehenswürdigkeiten der Stadt aufmerksam. Bei allen Herrlichkeiten möge der Fürst seine Provinz nicht vergessen; denn auch der Peloponnes habe Vorzüge. Wenn die Hauptstadt auch viel biete, selbst an Gelehrsamkeit, so habe man doch hier einen Mann, der alles aufwiege. Gemeint ist Gemistos. Der Brief stammt aus der Zeit von Bessarions Aufenthalt in Mysitra.

Überliefert ist der bisher noch ungedruckte Brief: Venedig, Cod. Marc. gr. 533. fol. 50—51 (= M).

Ε.Υ. της Εκτ.Π ΙΩΑΝΝΙΝΑ 2006

κομιζόμενος χάριν. οὕτω σε πανταχόθεν παντοδαπὰ περιΐσταται κάλλη· καὶ τρυφᾷς ἄρα πολλοῖς τοῖς τῆς πατρίδος καλοῖς. τὴν γὰρ ἐκ γῆς καὶ θαλάττης δορυφορίαν, καὶ ὡς ἐνταῦθα τὰ πανταχόθεν ἄκρα συντρέχει, καὶ ὧν ἡ οἰκουμένη φέρει καλῶν οὐδέν, ὃ μὴ καὶ ταύτῃ πρόσεστι δαψιλῶς, αὐτά σοι μαρτυρήσει τὰ πράγματα. τάχιον γοῦν ἢ ἐνθυμηθῆναι τὰ μὲν ἐκ γῆς σοι, τὰ δ᾽ ἐκ θαλάττης παντοδαπὰ κομίζεται δῶρα, τὰ μὲν αὐτόθεν, τὰ δ᾽ἐξ ὑπερορίας, ὅσα τε πρὸς ἀνάγκην καὶ χρείαν ἀνθρώποις, ὅσα τε πρὸς διαγωγὴν καὶ τρυφὴν βασιλεῦσι. καίτοι καλὰ μὲν καὶ ταῦτα καὶ καλῶν κάλλιστα. πῶς γὰρ οὔ;

Ἐκεῖνό γε μὴν πάντων πολλῷ κάλλιον ἡ τῶν ἀρίστων τε καὶ πολλῶν καὶ πάντων ἁπλῶς εὔνοιά τε καὶ φιλία· τῶν μὲν καὶ μόνῃ τῇ περὶ σοῦ φήμῃ τῆς σῆς ἁλόντων ἀρετῆς· οὓς δὲ καὶ ταῖς τῆς φωνῆς αὐτὸς ἄρκυσι νυνὶ περισχὼν καὶ πεδήσας ἀδαμαντίναις ἀνάγκαις. εἰ μή τίς σου γὰρ ἁλῷ μετὰ πρώτην ἔντευξιν ἢ δευτέραν, θαῦμα ἂν εἴη. τοιαύτη σου τοῖς χείλεσιν ἐπικάθηται πειθὼ καὶ οὕτως ἐπαγωγὴν φθέγγῃ, καὶ τὴν ἀπὸ ῥητορικῆς καὶ λόγων <γλῶσσαν> φωνεῖς.

Τί οὖν; ὅλος τῶν ἐνταῦθα γενήσῃ καλῶν, καὶ πρὸς τὴν μεγάλην μεταθήσεις σαυτὸν ἅπαντα πόλιν, Πελοποννήσου δὲ καὶ τῶν τῇδε ὁποιωνοῦν ὄντων καὶ ἡλίκων τέλεον ἐπιλήσῃ; καὶ μὴν οὐδ᾽ αὐτὸς σαυτῷ τοῦτο συγχωρήσεις, οὐδ᾽ ἐπαινέσεις τὸ τοσοῦτον ἡμᾶς περιφρονῆσαι; εἴτε γὰρ τὰ θαλάττης προβαλῇ καλὰ καὶ τὴν αὐτῆς ἀφθονίαν, — τῇ γε ἀρετῇ πως ἡ παρ᾽ ἡμῖν οὐ διοίσει — εἴτε κυνηγεσίων ἀφθονίαν ἅμα καὶ τέρψιν ὅσην βασιλικοῖς ὀφθαλμοῖς καὶ τακτικῶν γυμνασίαν παρεχομένων, οὐκ οἶδ᾽, εἴ τις ἑτέρα Πελοποννήσου κρατήσει. τάχα δ᾽ ἂν ἐφ᾽ ἑαυτῇ καὶ μέγα φρονήσειες τοῦτο τὸ μέρος, πολλὴν μὲν ἡμῖν χορηγοῦσαν τὴν θεραπείαν καὶ πλῆθος τῶν ἑπο-
M 51 μένων, πολλὴν δὲ τὴν ἄδειαν ἄνω τε καὶ κάτω περιϊοῦσι, καὶ οὐ τῶν πεδίων τε καὶ γηλόφων καὶ ὀρῶν εἴη βουλομένοις. καὶ μὴν καὶ ἀνθρώπων, εἰ μὲν πλῆθος θαυμάζεις, νικῶμεν ἡμεῖς. εἰ δ᾽ἀρετὴν περὶ πλείονος ἄγεις, οὐκ οἶδα μέν, ὧν τὰ πρεσβεῖα. ἔστι δέ τι τῆς ἀρετῆς, ᾧ καὶ ἡμῖν ἔξεστι μέγα φρονῆσαι. σοφίας μὲν γὰρ ἴσως νικώμεθα. καίτοι οὐδὲ τούτου τοῦ μέρους ῥᾳδίως ἑτέροις παραχωρήσομεν· ἔχομεν γάρ, ὃς ἀντὶ πάντων ἀρκεῖ. ἀνδρείας δὲ θαυμάσαιμ᾽ ἄν, εἰ μὴ καὶ αὐτὸς Πελοποννησίοις κρινεῖς περιεῖναι. τῆς γε μὴν φρονήσεώς τε καὶ γνώσεως, εἰ μὴ νικῶσιν, οὐδὲ νικῶνται. καίτοι ὅτε τούτοις, ἃ μόνα κοσμεῖν πέφυκεν ἄνθρωπον, μετὰ τοσαύτης οἱ τῇδε τῆς περιουσίας κοσμοῦνται, πῶς ἄν τις αὐτοὺς δικαίως περιφρονήσει καὶ ῥᾳδίως παρόψεται;

Ἀγαθῇ τοίνυν τύχῃ πατρίδα καὶ τοὺς ἐνταῦθα κατιδὼν ἅπαντας, καὶ προσκυνήσας μὲν ἱερά, προσκυνήσας δ᾽ οἷς τοῦτο ὀφείλεται, ὑφ᾽ ὧν δὲ τοῦτ᾽ αὐτὸ δεδεγμένος, εὖ μὲν σὺν Θεῷ διαθείης τὰ ἐφ᾽ οἷς ἧκες. εὖ δ᾽ ἔχων πρὸς ἡμᾶς ἐπανήκοις, τίνος οὐ μᾶλλον σὲ ποθοῦντας πατρὸς καὶ ἡμέραν εὐδαιμονίας τὴν γῆν ἐκδεχομένους ἐπάνοδον. ἢ δοίης μαθεῖν περὶ σοῦ τὰ βελτίω, ἀνδρῶν τε καὶ δεσποτῶν ἄριστε καὶ θειότατε. καὶ πολλὰ μὲν εὐφράνας τοὺς ὑπηκόους παρών, πολλὰ δὲ λυπήσας ἀποδημήσας.

25 ἡμῖν *scripsi* ὑμῖν M

Ε.Υ.Δ της Κ.Τ. ΙΩΑΝΝΙΝΑ 2006

## 5. ⟨**Βησσαρίωνος**⟩ M 51
## **Τῷ αὐτῷ.**

Ὅτι τὸ μὲν πυκνὰ ἐπιστέλλειν ἐστὶ μνημονεύειν, ἀμνημονεῖν δέ γε τὸ πολύν τινα χρόνον σιγᾶν, πῶς ἄν τις ἡμῖν ἓν τοῦτ' ἐγκαλῶν, τὴν μνήμην καὶ τὸ πυκνὰ ἐπιστέλλειν μέμψαιτό γε δικαίως ἅπαξ ἑλομένοις τὸ βέλτιον καὶ γενομένοις μετὰ τῆς κρείττονος μοίρας, εἰ μὴ καὶ τὸ τὰ εἰκότα περὶ τοὺς εὐεργέτας τηρεῖν καὶ ταῖς ὑπάρξεσιν ἀγαθῶν εἰδέναι χάριν ὁμολογεῖν ἐγκλήματος ἄξιον; καὶ μὴν ὅπου μὲν οὐ μεγάλαι τινὲς ἀφορμαὶ προϋπάρχουσαι μνήμης, οὐδὲ δίκαιον ὀφείλεται χρέος. οἵ τε ἀμνημονοῦντες ἔχοιεν ἂν παραιτήσασθαι, ὧν τε ἀμνημονοῦσιν εἰκότως ὑποίσουσι. συμβαίνει γὰρ αὐτοῖς ἡ ἀντέκτισις, οἷς αὐτοὶ προκατέθεντο. σοῦ δὲ τί ἄν τις ἢ πῶς ἐπιλάθοιτο: πῶς δ' ἂν δικαίως ἀμνημονοίη τῆς μεγαλόφρονος ὄντως καὶ βασιλικῆς ἐκείνης ψυχῆς, τοῦ πατρός, τοῦ δεσπότου, τοῦ εὐεργέτου; πάντα γὰρ ταῦτα μετὰ M 51v πολλῆς τῆς περιούσης ἡμῖν ⟨μεριμνᾶς⟩ ἦσθα, ὀλίγα μὲν τῷ τῆς ἀρχῆς χαριζόμενος ὄγκῳ, παντὸς δὲ πατρὸς μᾶλλον ἡμῖν εὐνοῶν καὶ δαψιλεῖ τῇ χειρὶ φιλοτίμους καταντλῶν δωρεάς.

Ἐγὼ μὲν οὖν ἐμαυτῷ συνειδὼς ἁπάντων τετυχηκότι παρὰ σοῦ τῶν καλλίστων χαρίτων, ὧν οὐκ ἄν τις ᾔτησε πλείους, εὐμενείας οὐδ' ὅσης εἰπεῖν, τιμῆς ὅσης ἂν ἴσως ηὐξάμην, μικροῖς τὰ μεγάλα ἀμείβομαι, καὶ οἷς ἄν τις ἐνδείξαιτο τὸν εὐγνώμονα μόνον τά γε μὴν μικρὰ ταῦτα, ἄλλοις μὲν ἴσως μικρά, καὶ ὅπερ ἐστί, δόξει. τοῖς δέ γε βασιλεῦσιν ὑμῖν μεγαλοψυχίαν ἀσκοῦσι καὶ μικρὰ ὄντα τὰ προσαγόμενα μεγάλα δοκεῖ. ἐναντίως ἐφ' ἑαυτῶν ἢ ἡμῶν τὸ μέγα μετροῦσι καὶ τὸ μικρόν. μεγάλα μὲν γὰρ παρεχόμενοι μείω ἔτι λογίζεσθε τοῦ πρέποντος εἶναι καὶ τῆς ἀξίας, οὐχ ὅτου ἄξιοι οἱ λαμβάνοντες συνορῶντες, ἀλλ' ὅσα ὑμᾶς χαρίζεσθαι δέον. μικρὰ δὲ ἀπολαμβάνοντες μεγάλα ἡγεῖσθε, προθέσει τὰ πράγματα κρίνοντες καὶ τῇ τῶν προσαγόντων δυνάμει τὸ μέτρον ὁρίζοντες. σὺ δ' εἰ μὴ μετὰ τοῦτό πω τῶν ὑπηκόων καὶ γνώμῃ διασταίης ἡμῶν, μηδ' ἐξέλοις γε τῆς ψυχῆς τῶν εὔνων τὴν μνήμην· ἀλλὰ μνημονεύεις μὲν τῶν φιλούντων. εὖ δὲ ποιοῖς τοῖς εἰκόσι καὶ δυνατοῖς, αὐτὸς αὐτῷ συμφωνῶν καὶ συμβαίνοντα παρεχόμενος, οἷς σου πρότερον ἀπηλαύσαμεν, πάντα τὰ μετὰ ταῦτα. βεβαιώσεις μὲν ἡμῖν τὰς ἐλπίδας, διὰ πάντων δὲ τὸν θαυμαστὸν ἐπιδείξεις δεσπότην. καὶ οἷς αὐτοὶ περὶ σοῦ λέγομεν τῆς μεγαλόφρονος καὶ γενναίας ψυχῆς τε καὶ γνώμης, πράγμασιν αὐτὸς μαρτυρήσεις τὴν ἔργῳ παρεχόμενος ἡμῖν μαρτυρίαν.

---

Ep. 5. Der Brief zeigt wie der vorhergehende das nahe Verhältnis Bessarions zum Palaiologenhaus. Näher beleuchtet wird dieses durch die Jamben, die mit den Briefen in die Handschrift fol. 49v aufgenommen sind. Vgl. Bd. I 51 ff. Beachtenswert sind die diesbezüglichen Ausführungen bei Nicolaus Firmanus, Or. in funere n. 3, oben S. 407.

Überliefert ist der bisher noch ungedruckte Brief: Venedig, Cod. Marc. gr. 533, fol. 51—51 v (= M).

Ε.Υ. της Κ.Ι.Π. ΙΩΑΝΝΙΝΑ 2006

M 51v

## 6. ⟨Βησσαρίων⟩
## Παύλῳ τῷ Σοφιανῷ.

Τῶν μεγίστων ἐστερημένοι, σοῦ καὶ τῆς σῆς ξυνουσίας, μικροῖς δή τισι τούτοις γράμμασι καὶ προσρήσεσι τὴν εὐθυμίαν μετροῦμεν, τῷ φιλικῷ καθήκοντι χαριζόμενοι τὰ εἰκότα καὶ δυνατὰ καὶ ἃ μόνα λείπεται. οἷς γὰρ αὐτόθεν οὐκ ἔνι τοῖς ἑταίροις συνεῖναι, τῆς πρὸς πρόσωπον ἀπολαύοντες συνουσίας, εἴ τις αὐτοὺς καὶ τὴν διὰ γραμμάτων παραμυθίαν ἀφέλοιτο, τὸ πᾶν καὶ ὅλον ἀφῄρηκε καὶ τῆς ἐνδεχομένης στερῶν ἡδονῆς.

Τοῖς γε μὴν ἡμετέροις εἰ καὶ τὰ παρὰ σοῦ προστεθείη καί σου τῆς χειρός
M 52 τε καὶ γνώμης δεξαίμεθα γράμματα, τὸ κέρδος διπλοῦν καὶ τὰ τῆς εὐθυμίας ἡμῖν καθαρώτερα. ἔσται δ' ἂν καὶ μείζων ἡ ἡδονὴ δήπου καὶ πολλαπλοῦν τἀγαθόν, ἂν πρός γε τοῖς ἄλλοις, ὡς ὑγιαίνοι μέν σοι τὸ σῶμα, μηνύῃ τὰ γράμματα καὶ ἀγγέλαις γε τοῦτο ἡμῖν καὶ τούτῳ τοὺς φιλοῦντας εὐφραίνοις, ἀνδρῶν ἄριστε· πρὸς δὲ καὶ τἆλλα ὑμῖν εὖ ἔχειν διδάσκῃ τά τε κοινά, τά τε ἴδια. αὕτη γὰρ ἡμῖν ἀρκοῦσα δήπου παραμυθία, λειπομένοις ὑμῶν, εὖ πράττειν πεπεῖσθαι τοὺς φίλους. ἀλλὰ τούτου μὲν μέλοι Θεῷ καὶ μελήσει γε δήπου τὴν ξένην ὑμῖν καί, εἴ τι ἐκεῖθεν ἀηδὲς ἀπαντήσει, τοῖς χρηστοτέροις ἀντισηκοῦντι. καίτοι καὶ τῆς μεγάλης ταυτησὶ πόλεως τοιαύτης, λέγω θαρρῶν, ἀπολαύσετε, οἵας οὐκ ἄν τις οὐδ' αὐτῆς τῆς οἰκείας. οὕτω καὶ πάντας μὲν οἶδε ξενίζειν λαμπροῖς τοῖς ξενίοις πᾶσι κομῶσα καλοῖς, πάντων δὲ μάλισθ' ὑμᾶς ξεναγήσει καὶ δέξεται φιλοφρόνως τῷ πλείστῳ καὶ τῷ παντὶ παῖδας αὐτῇ δήπουθεν ὄντας καὶ ὅσα μητρὸς πειραθήσεσθε, καί που τυχὸν καὶ αὐτῆς ἐπιλήσεσθε τῆς οἰκίας, τοῖς παρ' ἑαυτοῖς κάλλεσι καταδημαγωγούσης ὑμᾶς, ἣν ἀντηλλάξασθε.

Ἡμεῖς δὲ τῆς σὺν ὑμῖν ἐκδημίας ἀπολειφθέντες οὐ τοῦτο μόνον ὑμᾶς ἐζημιώθημεν, ὃ καὶ μόνον ὂν ἤρκει λυπῆσαι, ἀλλὰ τούς τ' αὐτόθι τῶν φίλων ἰδὼν ἂν καὶ τῆς ἐκεῖθεν ἐμφορηθεὶς ἡδονῆς τῶν τε τῆς μεγάλης πόλεως ἀπολελαυκὼς ἀγαθῶν, ὅμως συνάμα πάντων κάθημαι στερηθεὶς καὶ φέρω σιγῶν. τί γὰρ καὶ πάθω; οὕτως οὐδεὶς ἑαυτοῦ κύριος, οὐδὲ δύναταί τις ὅσα καὶ βούλεται. πολλὴ δὲ τῶν περιϊσταμένων ἡ τυραννίς, καὶ τὰ πράγματα μεταφέρει τὸν ἄνθρωπον οὐ συγχωροῦντα κρατεῖν ἑαυτοῦ. ἀλλ' ἐπιδειξάμενος

4 προσρήσεσι M προσερήμασι *L* | 6 ἀπολαύοντες *scripsi sec. L* ἀπολαύοντας M | 14 τἆλλα] τάλλα M | τά τε ἴδια M καὶ τὰ ἴδια *L* | 23 ἑαυτοῖς *L* ἑαυτῆς M | 26 ὂν M ἂν *L* | 30 περιϊσταμένων M περισταμένων *L*

Ep. 6. Über Paulos Sophianos ist nichts Näheres bekannt. Offensichtlich war er ein Studienfreund Bessarions zu Mysitra, von wo er sich inzwischen nach Konstantinopel begeben hat. Bessarion, der ihm wohl noch aus dem Peloponnes schreibt, also zwischen 1425 und 1433, bittet, weiterhin durch brieflichen Austausch ihm nahe zu bleiben.

Überliefert ist der Brief: Venedig, Cod. Marc. gr. 533, fol. 51 v—52 (= M), erstmals herausgegeben von Sp. Lampros: Νέος Ἑλληνομνήμων XI, I (1916), 411 sq. (= *L*).

Ε.Υ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τὸν φιλοῦντα, εἴ τινα τρόπον ἔνι θεραπείας ἐπινοῆσαι, μὴ κάμῃς λοιπὸν τῷ φιλοῦντί σε χαριούμενος καὶ τἆλλα μὲν ἡμῖν συμβουλόμενος πάντα, οἷς ἐπανορθοῦν ἔνι τὰ τῆς τύχης ἡμῖν πταίσματα, μάλιστα δ᾽ἐπιστέλλων καὶ γράμμασιν εὐφραίνων ἡμᾶς, τίνος οὐ περὶ πλείονος τά γε σὰ τιθεμένους.

## 7. ⟨Βησσαρίων⟩ M 52
## Δημητρίῳ τῷ Πεπαγωμένῳ.

Αὐτῇ τε τῇ πατρίδι συγχαίρω καὶ σοί, τῇ μὲν ἀπολαβούσῃ τὸν παῖδα M 52ᵛ
καὶ τρόφιμον, σοὶ δὲ τὴν μητέρα τε καὶ τροφόν, καὶ ἀμφοῖν τῆς εὐδαιμονίας. σύ γε γὰρ πολίτης ἄξιος τῆς ἐνεγκαμένης· ἥ τε πατρὶς οὐκ αἰσχυνεῖ σοι τὴν ἀρετὴν οὐδ᾽ ἐν ὀνείδει τῷ παιδὶ πάντως ὑπάρξει, ὅτι μὴ καὶ ἀλλήλοις ἀφορμὴ κρότου καὶ δόξης καὶ θαύματος τοῖς γε τἀληθῆ κρίνειν ἐθέλουσι δόξετε. καίτοι κἀνταῦθα ἔστι μέν τις ἀμφισβήτησις, καὶ οὐκ ἄν τις ῥᾳδίως κρινεῖ, πότερον ἡ πατρὶς σὲ μᾶλλον, ἢ σὺ τὴν ἐνεγκοῦσαν κοσμεῖς. οὕτως ἀλλήλοις ἐρίζετε τοῦ ἑκάτερος ἑκατέρῳ ἄξιος εἶναι καὶ τὴν προσήκουσαν σώζειν ἀλλήλοις ἀναλογίαν, ἐπί γε μὴν τῶν τοσοῦτον νικώντων ὡς τῆς νίκης ἀλλήλοις ἀμφισβητεῖν. οὐκ οἶδ᾽, ὅτι τις μεῖζον ζητήσει πρὸς ἔπαινον, τοῦτό γε παρείς, ὃ πρῶτον εἰς ἔπαινον. ἀλλά μοι πολλὰ χαίρετε καὶ τῶν παρ᾽ ἀλλήλων ἑκάτερος ἀπολαύετε, ἡ μὲν ἐν βουλαῖς τε καὶ πράξεσι τοῦ καιροῦ παραστάντος καὶ τῇ τῶν παίδων αὐτῇ θεραπείᾳ τε καὶ ὑγείᾳ, ὅσα καὶ Ἱπποκράτους αὐτοῦ, τῆς σῆς ἀρετῆς πειρωμένη, σὺ δ᾽ ἐκείνης ὀνούμενος ἐν τιμαῖς τε καὶ κρότοις δικαίοις καὶ τῷ παρὰ παντὸς στόματος θαύματι.

Τί γάρ με δεῖ τῶν ἄλλων αὐτῆς μνησθῆναι καλῶν, καὶ ὧν εἰς κόρον ἐμφορεῖσθε νυνὶ χρόνιον ἐκπιμπλάντες ἐπιθυμίαν; ἡμῖν δ᾽ εἰ μὲν ἄχρι τούτου δώσεις εὐφραίνεσθαι μόνον, ὡς τῇ σῇ συνηδομένους εὐδαιμονίᾳ καὶ τὸ κοινὰ τὰ φίλων ὑπάρχειν ἀρκοῦσαν εἶναι λογίσῃ παραμυθίαν, σοῦ λειπομένοις, ἄλλος ἂν εἴη λόγος οὗτος. κἀπὶ σχολῆς εἰς ἔπειτα κρινεῖς, εἰ χρεών. καίτοι καὶ τοῦτο παθόντες ἡμεῖς οἴσομεν. τί γὰρ καὶ πάθοιμεν, εἰ καὶ μὴ μετὰ τοῦ δεδογμένου παντὸς μηδ᾽ ἀπὸ τοῦ τῆς ψυχῆς διακειμένου καὶ ἵλεω; εἰ δέ τινος μεταδοῦναι καὶ τελεωτέρας ἡδονῆς δοκιμάσεις, οὐκ ἀπορήσεις, ὅπως οὐδ᾽ ἀνάγκη περιϊόντα πυνθάνεσθαί του τὸν τρόπον τῆς θεραπείας. ἢ γὰρ ἀποδώσεις σαυτὸν τοῖς ποθοῦσι μόνον ἑπομένου σοι τοῦ βελτίονος λόγου καὶ τηρουμένου γε τοῦ ἀμέμπτου, ἢ παρὰ σαυτὸν ἡμᾶς ἐπισπάσῃ συμπροθυμού-

---

2 τἆλλα] τᾶλλα M | 4 τά γε M τάδε *L*

Ep. 7. Abschiedsbrief **Bessarions** an einen Freund. Der sonst unbekannte Adressat ist offenbar derselbe, an den auch zwei Briefe von **Johannes Eugenikos** vorliegen, bei **E. Legrand**, Cent-dix lettres grecques de Fr. Filelfe. Paris 1892, p. 307. 308. Nochmals bei **Sp. Lampros**, Πελοποννησιακὰ καὶ Παλαιολογικά. Ἐν Ἀθήναις. I (1923) p. 158. 209.

Der bisher noch ungedruckte Brief ist überliefert: Venedig: Cod. Marc. gr. 533, fol. 52—53.

Ε.Υ. της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

μενος τῷ φίλῳ τὰ βελτίω τε καὶ εἰκότα. ἀλλὰ τούτων μὲν ἴσως οὔπω καιρὸς οὐδετέρου.

M 53 Σὺ δὲ τό γε νῦν εἶναι γράμμασιν εὔφραινε τοὺς φιλοῦντας καὶ τὴν ἐκ τῆς σῆς ἀπουσίας ἀθυμίαν ἐπιστέλλων ἀνάψυχε, τοῦτο μὲν κάλλει καὶ χάριτι τῇ τῶν λόγων παραμυθούμενος, τοῦτο δὲ καὶ διδάσκων, ἐν οἵοις ἐστέ, τίνος οὐ βέλτιον ὑμᾶς πράττειν συνευχομένους τε τοῖς φιλτάτοις καὶ βουλομένους μανθάνειν.

M 53

## 8. ⟨Βησσαρίων⟩
## Νικηφόρῳ τῷ Χειλᾷ.

Σὺ δ' ἐξαπατῶν ἡμᾶς, φρονῶν μὲν ἕτερα, λέγων δὲ τὰ μὴ ὄντα ᾤου τι προὔργου ποιεῖν. ἀλλ' ἡμᾶς οὐκ ἐλάνθανες ἀποκρυπτόμενος μὲν τὴν ἀλήθειαν, τηρῶν δὲ τῷ θειοτάτῳ ἡμῶν ἡγεμόνι τε καὶ δεσπότῃ τὴν πίστιν τε καὶ τὴν εὔνοιαν, φυλάττων δ' αὐτῷ τὰ ἀπόρρητα ὄντως ἀπόρρητα. καίτοι τοῦτό γε κἂν αὐτὸς φαίης, ἡμῖν γοῦν, εἰ μή γε τοῖς ἄλλοις, ὡς ἔδει γε τῶν σῶν μεταδοῦναι καὶ τῶν ἐγνωσμένων κοινώσασθαι. φιλοῦντί τε γὰρ ἂν ἐκοινώνησας τῆς βουλῆς καὶ ἄλλῳ σαυτῷ. ἀλλ' ἴσως χαλεπόν γε τὸ ἔθος, οἷς ἂν ἐγγένηται, καὶ κρατῆσαν ψυχῆς δυσαπόνιπτον, καὶ ῥᾳδίως περιπεσεῖται τοῖς μείζοσιν ὁ τῶν ἐλαχίστων ὑπερορῶν. δεῖν δ' ἕκαστον ἑαυτὸν ἐπὶ θάτερον μεταβιβάζειν τὸ ἄκρον καὶ τὴν ὑπεροχὴν διώκειν, εἰ μέλλοι τοῦ μέσου τε καὶ μετρίου τυχεῖν. τοῦτο δὴ καὶ αὐτὸς φυλαττόμενος δικαίως γυμνάζεις σαυτὸν ἐπὶ μειόνων τε καὶ μειζόνων, τὴν πίστιν ἀσκῶν καὶ τὸ τἀπόρρητα φυλάττειν ἀνέκφορα σωφρόνως ἐπιτηδεύων. οὐχ ἡ τυχοῦσα γὰρ ἀρετὴ τοῖς δυνάσταις συνοῦσι κρύπτειν ἐπίστασθαι τὰ τῶν ἀρχόντων μυστήρια. καὶ καλῶς τοῦτό γε καὶ ἀξίως σαυτοῦ ποιεῖς τε καὶ δέδρακας. τί γὰρ ἄν τις μὴ τἀληθῆ πρὸς σὲ λέγοι μηδ' ἐπαινοίη τὰ θαύματος ἄξια, μηδὲ λύσειε τῶν ἐγκλημάτων τὸν φίλον καὶ ὑπεραπολογήσαιτο τοῦ φιλτάτου;

Ὁρᾷς, ὅσον ἡμεῖς τῷ φιλικῷ καθήκοντι χαριζόμεθα. οὔπω καθαρῶς ἐμεμψάμεθα καὶ φθάσαντές σε τῶν ἐγκλημάτων ἐλύσαμεν. μὴ δὴ πρὸς ἡμᾶς γε συγγράψῃς ἀπολογίαν, μηδὲ μελέτω σοι παραιτήσεως, μηδ' ἀνάγκην προβάλλῃ καὶ βίαν, καὶ ὡς ἄκων ὑπήχθης τὸ βέλτιον ἅπαξ ἑλόμενος καὶ μετὰ τῆς κρείττονος γνώμης γενόμενος. εἴτε γὰρ ἄκων ἠκολούθησας τῷ θειοτάτῳ δεσπότῃ, ὅπως οὐκ ἂν ἔγωγε πεισθείην ποτέ, χάρις τῷ βιασαμένῳ σε καὶ μὴ θέλοντα. καὶ γὰρ οὐδὲν βλάβος, ὅτι μὴ καὶ πᾶν τοὐναντίον θαῦμα

M 53v καὶ ἔπαινος ἀπαντήσει σοι παρ' αὐτοῦ μετὰ λαμπρῶν τῶν ἀμοιβῶν καὶ πλου-

25 μηδ' ἐπαινοίη . . . ἄξια M *in marg.* | 34 ἀπαντήσει] ἀπαντῇ ἀπαντήσει M

Ep. 8. Bessarion beklagt sich, daß ihm Nikephoros etwas verheimlicht habe, wovon der θειότατος ἡγεμών und δεσπότης (sicher Gemistos) wußte. Doch wolle er ihm sein Vertrauen bewahren. — Nikephoros Cheilas war fürstlicher Abkunft. Bessarion, der ihn dauernd schätzte, nennt ihn nochmals in Ep. 22 (unten S. 469).

Der bisher noch ungedruckte Brief ist überliefert: Venedig, Cod. Marc. gr. 533, fol. 53—53 v.

Ε.Υ.Α. της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006